***μετάνοια*** – repentance
22x in 22v

Matt 3:8 "Therefore bear fruits worthy of **repentance**,
ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας

Matt 3:11 "I indeed baptize you with water unto **repentance**, but He who is coming after me is mightier than I, whose sandals I am not worthy to carry. He will baptize you with the Holy Spirit and fire.
Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί·

Mk 1:4 John came baptizing in the wilderness and preaching a baptism of **repentance** for the **remission of sins**.
ἐγένετο Ἰωάννης [ὁ] βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.

Lk 3:3 And he went into all the region around the Jordan, preaching a baptism of **repentance** for the **remission of sins**,
Καὶ ἦλθεν εἰς πᾶσαν [τὴν] περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν,

Lk 3:8 "Therefore bear fruits worthy of **repentance**, and do not begin to say to yourselves, `We have Abraham as *our* father.' For I say to you that God is able to raise up children to Abraham from these stones.
ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· πατέρα ἔχομεν τὸν Ἀβραάμ. λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ.

Lk 5:32 "I have not come to call *the* righteous, but **sinners**, to **repentance**."
οὐκ ἐλήλυθα καλέσαι δικαίους ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Lk 15:7 "I say to you that likewise there will be more joy in heaven over one **sinner** who **repents** than over ninety-nine just persons who need no **repentance**.
λέγω ὑμῖν ὅτι οὕτως χαρὰ ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας.

Lk 24:47 "and that **repentance** and **remission of sins** should be preached in His name to all nations, beginning at Jerusalem.
καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν εἰς ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη. ἀρξάμενοι ἀπὸ Ἰερουσαλὴμ

Acts 5:31 "Him God has exalted to His right hand *to be* Prince and Savior, to give **repentance** to Israel **and** **forgiveness of sins**.
τοῦτον ὁ θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσεν τῇ δεξιᾷ αὐτοῦ [τοῦ] δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν.

Acts 11:18 When they heard these things they became silent; and they glorified God, saying, "Then God has also granted to the Gentiles **repentance** to **life**."
Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ ἐδόξασαν τὸν θεὸν λέγοντες· ἄρα καὶ τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετάνοιαν εἰς ζωὴν ἔδωκεν.

Acts 13:24 "after John had first preached, before His coming, the baptism of **repentance** to all the people of Israel.
προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ.

Acts 19:4 Then Paul said, "John indeed baptized with a baptism of **repentance**, saying to the people that they should **believe** on Him who would come after him, that is, on Christ Jesus."
εἶπεν δὲ Παῦλος· Ἰωάννης ἐβάπτισεν βάπτισμα μετανοίας τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσιν, τοῦτ᾽ ἔστιν εἰς τὸν Ἰησοῦν.

Acts 20:21 "testifying to Jews, and also to Greeks, **repentance** toward God and **faith** toward our Lord Jesus Christ.
διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν τὴν εἰς θεὸν μετάνοιαν καὶ πίστιν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν.

Acts 26:20 "but declared first to those in Damascus and in Jerusalem, and throughout all the region of Judea, and *then* to the Gentiles, that they should **repent**, turn to God, and do works befitting **repentance**.
ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτόν τε καὶ Ἱεροσολύμοις, πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν ἀπήγγελλον μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

Rom 2:4 Or do you despise the riches of His goodness, forbearance, and longsuffering, not knowing that the goodness of God leads you to **repentance**?
ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει;

2 Cor 7:9 Now I rejoice, not that you were made sorry, but that your sorrow led to **repentance**. For you were made sorry in a godly manner, that you might suffer loss from us in nothing.
νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε ἀλλ᾽ ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

2 Cor 7:10 For godly sorrow produces **repentance** *leading* to **salvation**, not to be regretted; but the sorrow of the world produces death.
ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται.

2 Tim 2:25 in humility correcting those who are in opposition, if God perhaps will grant them **repentance**, so that they may know the truth,

ἐν πραΰτητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δώῃ αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας

Heb 6:1 Therefore, leaving the discussion of the elementary *principles* of Christ, let us go on to perfection, not laying again the foundation of **repentance** from dead works and of **faith** toward God,

Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν,

Heb 6:6 if they fall away, to renew them again to **repentance**, since they crucify again for themselves the Son of God, and put *Him* to an open shame.

καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας.

Heb 12:17 For you know that afterward, when he wanted to inherit the blessing, he was rejected, for he found no place for **repentance**, though he sought it diligently with tears.

ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν ἀπεδοκιμάσθη, μετανοίας γὰρ τόπον οὐχ εὗρεν καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

2 Pet 3:9 The Lord is not slack concerning *His* promise, as some count slackness, but is longsuffering toward us, not willing that any should perish but that all should come to **repentance**.

οὐ βραδύνει κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδύτητα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ὑμᾶς μὴ βουλόμενός τινας ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.